Σχόλια. Ω πάτερ.] σύστημα ἕτερον εἰς δύο διῃρημένον περιόδους. καὶ εἰσὶ τῆς μὲν πρώτης περιόδου δακτυλικὰ τετράμετρα τέσσαρα καὶ ἐν ἐκθέσει ἐπικὸν ἕν, μεθ' ὃ τῆς δευτέρας περιόδου ὅμοια πέντε. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. τὰ τοιαῦτα δὲ περιχωρυγήματα καλοῦσιν. οἷα νῦν τὰ τοιαῦτα παιδία ποιεῖ καλοῦντα τὸν πατέρα. εἰς τὰ πρὸς οὐδὲν ἐκ τούτοις χρήσεται.

Ες κόρακας βαδιεῖ μεταμώνιος.
Εστι τι τοῦτ' ἐτύμως; εἰπ' ὦ πάτερ ὅτι φιλεῖς με.
Τρ. Δοξάσαι δεῖ κόραι. τὸ δ' ἐτήτυμον ἄχθομαι ὑμῖν,
Ηνίκ' ἂν αἰτίζητ' ἄρτον πάππαν με καλοῦσαι.
Ενδον δ' ἀργυρίου μηδὲ ψακὰς ᾖ πάνυ πάμπαν.
Ην δ' ἐγὼ εὖ πράξας ἔλθω πάλιν, ἕξετ' ἐν ὥρᾳ
Κολλύραν μεγάλην, καὶ κόνδυλον ὄψον ἐπ' αὐτῇ.
Παι. Καὶ τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται;
Ναῦς μὲν γὰρ οὐκ ἄξει σε ταύτην τὴν ὁδόν.
Τρ. Πτηνὸς πορεύσει πῶλος. οὐ ναυσθλώσομαι.
Παι. Τίς δ' ἡ 'πίνοια σοῦ 'στιν, ὥστε κάνθαρον
Ζεύξαντ' ἐλαύνειν εἰς θεούς, ὦ παππία.
Τρ. Εν τοῖσιν Αἰσώπου λόγοις ἐξηυρέθη,
Μόνος πετεινῶν εἰς θεοὺς ἀφιγμένος.
Παι. Απιστον εἶπας μῦθον ὦ πάτερ, πάτερ,
Οπως κάκοσμον ζῶον ἦλθεν εἰς θεούς.
Τρ. Ηλθεν κατ' ἔχθραν αἰετοῦ πάλαι ποτὲ
Ω' ἐκκυλίνδων, κἀντιτιμωρούμενος.
Παι. Οὐκοῦν ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερόν,
Οπως ἐφαίνου τοῖς θεοῖς τραγικώτερος.
Τρ. Αλλ' ὦ μέλεα μοι σιτίων διπλῶν ἔδει.
Νῦν δ' ἅττ' ἂν αὐτὸς καταφάγω τὰ σιτία,
Τούτοισι τοῖς αὐτοῖσι τοῦτον χορτάσω.
Παι. Τί δ' ἢν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος,
Πῶς ἐξολισθεῖν πτηνὸς ὢν δυνήσεται.
Τρ. Επίτηδες εἶχον πηδάλιον, ᾧ χρήσομαι,
Τὸ πλοῖον δ' ἔσται Ναξιουργὴς κάνθαρος.
Παι. Λιμὴν δὲ τίς σε δέξεται φορούμενον;
Τρ. Εν Πειραιεῖ δήπου 'στὶ κανθάρου λιμήν.
Παι. Εκεῖνο τήρει, μὴ σφαλεὶς καταρρυῇς
Εντεῦθεν. εἶτα χωλὸς ὢν, Εὐριπίδῃ
Λόγον παράσχῃς, καὶ τραγῳδία γένῃ.
Τρ. Εμοὶ μελήσει ταῦτά γ'. ἀλλὰ χαίρετε.

*Velle capessere méque relinquere:*
*Veráne fama fuit genitor? dic si quid amas me.*
*TRY. O natæ veri simile est, veréque dolebam,*
*Cùm patrem panis peteretis frustra vocantes,*
*Nec tamen vlla domi argenti scintilla niteret:*
*Sin rebus redeo gestis feliciter, ingens*
*Panis erit semper pugnúsque obsonia vobis.*
*PV. Qui posse speras itiner hoc insistere?*
*Neque enim vehet te nauis huc stlataria.*
*TRY. Volucris vehet me pullus, haud nauis feret.*
*PV. Quid cogitatio est tibi ô Patercule?*
*Quæ mens, inigere cantharum ad cæli polos?*
*TRY. Reperitur ille in fabulis Æsopicis*
*Solus volucres inter iuisse ad deos.*
*PV. Credenda non est fabula, ô pater, pater,*
*Visisse olentem bestiam vsque ad cælites.*
*TRY. Aquilam perosus venit olim, & illius*
*Deiecit oua, & vltus aduersarium est.*
*PV. Præstabat ergo iungere alas Pegasi,*
*Mirandus vt diis amplius faceres fidem.*
*TRY. At ô misellæ duplici cibo mihi*
*Opus fuisset, nam quibus vescor cibis*
*Iisdem volucrem post satullo cantharum.*
*PV. Quid si in profundum decidat forsan mare?*
*Qui poterit æquor verrere ales insolens?*
*TRY. Clauo lubenter vtar hocce industrio,*
*Eritque nauis facta Naxi cantharus.*
*PV. Quis applicante portus accipiet ratem?*
*TRY. Piræus ingens canthari portu cluet.*
*PV. At hoc caue sis, ne ruens temerario*
*Fallare casu, tum catax Euripidi*
*Occasionem præbeas Tragœdiæ.*
*TRY. Satis hoc cauebo: cæterum valete vos,*

Σχόλια. Ες κόρακας] δέον εἰπεῖν εἰς οὐρανόν. ὁ δὲ, ἀντὶ τῶν μὲν ὀρνέων. ἅμα δὲ ἐφ' ὕβρει. ἐδόκει γὰρ ἀνωφελὲς ἀπιέναι, ὥσπερ οἱ εἰς τὸ σκότος ἀπιόντες. Δοξάσαι.] ἀντὶ τοῦ ὑπονοῆσαι. εἰκάσαι.

Biset vs. Πάππαν] πάπας, ὥς φησι Σουΐδας παρὰ τοῖς Συρακουσίοις ὁ πατὴρ λέγεται, καὶ κατ' ἀναδιπλασιασμὸν τοῦ π. πάππας. ὅθεν τὸ παππάζειν, τὸ πάππα καλεῖν. λέγει δὲ φωνὴν εἶναι σεπτικὴν οὐ μόνον πρὸς τοὺς πατέρας, ἀλλὰ καὶ πρὸς τοὺς τροφέας. καὶ ἄππα πολλάκις ἀντὶ τοῦ πάππα λέγεσθαι. ἀλλὰ καὶ ἄππα ἴσως παρὰ τὸ Συριακὸν ἀββᾶ ὃ δηλοῖ τὸ πατήρ. Εὐστάθιος δὲ, πάπας, ὁ πατήρ. καὶ ὁ Ζεὺς παρὰ Βιθυνοῖς, ἐκ τοῦ πὰς μονοσυλλάβου, κατ' ἀναδιπλασιασμόν, ὡς ἐκ τοῦ μὰ, τὸ μάμμα, καὶ παπίας, ὁ πατὴρ ὑποκοριστικῶς, καὶ παππίδιον. καὶ πάππα προσφώνημα παίδων πρὸς τοὺς πατέρας. Ομηρος Οδυσσείας Ζ.

Πάππα φίλ' οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην;
καὶ παππάζειν, τὸ βρεφικῶς προσφθέγγεσθαι τὸν πατέρα.

Chris. Ω πάτερ] Alterum Systema dissimilium partium diuisum in duas Periodos: Prior quinque versibus cõstat, quatuor Tetrametris dactylicis, & vno Epico, quæ est ἔκθεσις. Altera quinque similibus Epicis. Hæc verò vocantur περιχωρήματα. Nam puellæ istæ inducuntur hoc tantum loco, patrémque vocant, postea in tota fabula non parent. Primo versu legitur ἔτυμος γε ἆρ. Sed legẽdum censui (si censendi mihi ius est) ἆρ' ἔτυμος γε, vt Dactylicus sit Tetrameter cum tribus sequentibus. Αχθομαι ἡμῖν] Potius legerem ὑμῖν, distinguerémque post ἄχθομαι. Sensus est. Non absque ratione suspicamini de discessu ad Iouẽ meo. Reuera enim tristitia vehementi angor, quoties petitis à me patre vestro panem, & nulla interim est argenti gutta domi nostræ. Quòd si rebus benè gestis reuertero, habebitis in tempore panẽ quoque grandem, & insuper colaphum pro opsonio. Ludit autem ad vulgarium dictum, εἰ δ' οἶνον αἰτεῖ κόνδυλον αὐτῷ δός, scilicet vt ne assuescãt pueri superfluis